πρὸς ἡ α τῇ β. ἕξει τὸ ἀπὸ τῆς α τετράγωνον πρὸς τὸ ἀ-
πὸ τῆς β τετράγωνον λόγον ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν· οὐκ ἔχει δέ· οὐκ ἄρα σύμμε-
(ἀσύμμετρος ἄρα ἐστὶν ἡ α τῇ β μήκει)
τρός ἐστιν ἡ α τῇ β μήκει· τὰ ἄρα ἀπὸ τῶν μήκει συμ-
μέτρων καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι:~

Π Καὶ φανερὸν ἐκ τῶν δεδειγμένων, ὅτι αἱ μήκει σύμ-
μετροι πάντως καὶ δυνάμει· αἱ δὲ δυνάμει οὐ πάντως καὶ
μήκει, εἴπερ τὰ ἀπὸ τῶν μήκει συμμέτρων εὐθειῶν τε-
τράγωνα λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς
τετράγωνον ἀριθμόν· τὰ δὲ λόγον ἔχοντα ὃν ἀριθμὸς
πρὸς ἀριθμόν, σύμμετρά ἐστιν· ὥστε αἱ μήκει σύμμε-
τροι εὐθεῖαι οὐ μόνον εἰσὶ μήκει σύμμετροι, ἀλλὰ καὶ δυ-
νάμει· πάλιν ἐπεὶ ὅσα τετράγωνα πρὸς ἄλληλα λόγον
ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν,
μήκει ἐδείχθη σύμμετρα, καὶ δυνάμει ὄντα σύμμετρα,
τῷ τὰ τετράγωνα λόγον ἔχειν ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν· ὅσα ἄρα τετράγωνα λόγον
οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον
ἀριθμόν, ἀλλ' ἁπλῶς ὃν ἕτερος τις ἀριθμὸς πρὸς ἀρι-
θμόν, σύμμετρα μὲν ἔσται αὐτὰ τὰ τετράγωνα, τουτέστιν
αἱ εὐθεῖαι ἀφ' ὧν ἀναγεγράφησαν, δυνάμει· οὐκέτι δὲ καὶ
μήκει· ὥστε αἱ μὲν μήκει σύμμετροι, πάντως καὶ δυ-
νάμει· αἱ δὲ δυνάμει, οὐ πάντως καὶ μήκει· εἰ μὴ καὶ λό-
γον ἔχοιεν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον
ἀριθμόν· λέγω δή, ὅτι καὶ αἱ μήκει ἀσύμμετροι, οὐ πάν-
τως καὶ δυνάμει· ἐπειδήπερ αἱ δυνάμει σύμμετροι δύ-

ναται λόγον μὴ ἔχειν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετρά-
γωνον ἀριθμόν· καὶ διὰ τοῦτο δυνάμει οὖσαι σύμμετροι, μή-
κει εἰσὶν ἀσύμμετροι· ὥστε οὐχ αἱ τῷ μήκει ἀσύμμετροι
πάντως καὶ δυνάμει· ἀλλὰ δύνανται μήκει οὖσαι ἀσύμμε-
τροι δυνάμει εἶναι καὶ ἀσύμμετροι καὶ σύμμετροι· αἱ δὲ δυ-
νάμει ἀσύμμετροι, πάντως καὶ μήκει ἀσύμμετροι· εἰ γὰρ
μήκει σύμμετροι, ἔσονται καὶ δυνάμει σύμμετροι· ὑπό-
κεινται δὲ καὶ ἀσύμμετροι· ὅπερ ἄτοπον· αἱ ἄρα δυ-
νάμει ἀσύμμετροι, πάντως καὶ μήκει:~ ✝ λῆμμα:~
Δέδεικται ἐν τοῖς ἀριθμητικοῖς ὅτι οἱ ὅμοιοι ἐπίπεδοι
ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν ὃν τετράγω-
νος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ ὅτι ἐὰν
δύο ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχωσιν ὃν τετράγω-
νος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ὅμοιοί εἰ-
σιν ἐπίπεδοι· καὶ δῆλον ἐκ τούτων ὅτι οἱ μὴ ὅμοιοι
ἐπίπεδοι ἀριθμοί, τουτέστιν οἱ μὴ ἀνάλογον ἔχοντες
τὰς πλευράς, πρὸς ἀλλήλους λόγον
οὐκ ἔχουσιν ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν· εἰ γὰρ ἕξου-
σιν, ὅμοιοι ἐπίπεδοι ἔσονται· ὅπερ οὐ-
χ ὑπόκειται· οἱ ἄρα μὴ ὅμοιοι ἐπί-
πεδοι πρὸς ἀλλήλους λόγον οὐκ ἔ-
χουσιν ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν:~

α γ
δ
ε β

✝ ἄλλως τὸ θ:~
Εἰ γὰρ σύμμετρός ἐστιν ἡ α τῇ β, λόγον ἔχει ὃν ἀριθμὸς

Ὅμοιοι δὲ ἐπίπεδοι ἀριθμοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς [illegible]